# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΜΑΡΤΥΡΟΣ ΝΙΚΩΝΟΣ
# ΚΑΙ ΤΩΝ ΟΣΙΟΜΑΡΤΥΡΩΝ ΑΥΤΟΥ ΜΑΘΗΤΩΝ

Οὗ ἡ Μνήμη τῇ κγ′ Μαρτίου.

Συμπληρωθεῖσα κατὰ τὰ ἐλλείποντα
ὑπὸ τοῦ ταπεινοῦ Ἐπισκόπου Κυρίλλου, τοὐπίκλην Κογεράκη,
Μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως Ῥόδου.

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. β΄. Τριήμερος ἀνέστης.

Τιμήσωμεν συμφώνως πιστοί, ὁπλίτην τὸν ἀχείρωτον τοῦ Κυρίου, ἀνακράζοντες αὐτῷ· Νίκων Ὁσιομάρτυς, ὡς ἔχων παῤῥησίαν, μὴ ἐπιλάθῃ τῶν ὑμνούντων σε.

Α᾿σκήσεως τὸν δρόμον καλῶς, ἐν ἄθλοις μαρτυρίου σου ἐκτελέσας, εἰς διπλοῦν τὴν ἀμοιβήν, τῶν πόνων ὑπεδέξω, παρὰ τοῦ Ἀθλοθέτου, Ὁσιομάρτυς Νίκων ἔνδοξε.

Η῾γούμενος χορείας σεπτῆς, τῶν θείων Νίκων Ὅσιε μαθητῶν σου, ὑπερήστραψας ἐν γῇ, φωτὶ τοῦ μαρτυρίου, καὶ ἥλιος καθάπερ, τῇ Ἐκκλησίᾳ ἐξανέτειλας.

Ε᾿νίκησας δολίων ἐχθρῶν , τὸ θράσος Νίκων Ὅσιε φερωνύμως , δι᾽ ἀσκήσεως στεῤῥᾶς, καὶ ἄθλων μαρτυρίου· Σταυροῦ γὰρ τὸ σημεῖον, ὡς ὅπλον ἔσχες ἀπροσμάχητον.

Δόξα. Ἦχος πλ. α′.

Ο῾σιομάρτυς Χριστοῦ, Νίκων παναοίδιμε, κατὰ τοῦ ἀρχεκάκου ἐχθροῦ, νικηφόρον παρεμβολὴν συναθροίσας, τῶν ἱερῶν μαθητῶν σου τὸν σύλλογον, ἰσομοιρίᾳ τῶν ἄθλων ἴσα αὐτοῖς, ἐκτήσω ἐν ὑψίστοις τὰ ἔπαθλα. Διὸ πρέσβευε ὑπὲρ ἡμῶν, τῶν τελούντων ἐν ᾄσμασι, τὴν παναγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.
Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ

χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β′. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίροις τοῦ Ἰησοῦ, χορὸς τροπαιοφόρος, Νίκων σὺν τοῖς συνάθλοις· ὑπὲρ ἡμῶν πρεσβείαν, ποιήσατε πρὸς Κύριον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Πίστεως τοῦ Χριστοῦ, συνδέσμῳ συνημμένοι, Νίκων σὺν τοῖς συνάθλοις, ἀσκήσεως τὸν δρόμον, ἀθλήσει ἐτελέσατε.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Θύματα ἐκλεκτά, τῷ Κτίστῃ προσαχθέντες, Νίκων σὺν τοῖς συνάθλοις, τῆς ἀθανάτου δόξης, ὁμοῦ καταπολαύετε.

Δόξα. Ἦχος β′.

Ὁσιομάρτυς Νίκων, εἰς χορείαν θεόλεκτον συγκροτήσας, τῶν φοιτητῶν σου τὴν διπλῆν ἑκατοντάδα, ἐν συμφωνίᾳ πίστεως ᾆσμα μυστικόν, τῷ ἐν Τριάδι Θεῷ ἀνεμέλψατε· ὁμοφρόνως γὰρ ἠσκήσατε, καὶ ὁμοτίμως ἠθλήσατε, τῇ προσδοκίᾳ τῶν ἀγαθῶν τῆς ζωῆς. Διὸ πρέσβευε σὺν αὐτοῖς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Προοιμιακὸς καὶ τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. στ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ′. Ὡς γενναῖον ἐν Μάρτυσιν.
Ἡδονὰς τὰς τοῦ σώματος, καὶ σαρκὸς τὸ δυσήνιον, τῷ κημῷ μακάριε καθυπέταξας, τῆς ἐγκρατείας ἐν χάριτι, νικήσας ὡς ἄριστος, πανοπλίαν

τοῦ ἐχθροῦ, τῇ δυνάμει τοῦ Πνεύματος· ὅθεν γέγονας, ποδηγὸς μοναζόντων ἑπομένων, τῷ πανσόφῳ σου καὶ θείῳ, Νίκων κηρύγματι πάντοτε.

Ἀ᾽ναλάμψας ὡς ἥλιος, ἐξ ἑῴας πανόλβιε , οἰκουμένην ἅπασαν κατεφώτισας, τῇ τῶν θαυμάτων λαμπρότητι , χορὸν ἐπαγόμενος , ὡς ἀστέρων φαεινῶν , ὀπαδῶν· μεθ᾽ ὧν ἤθλησας , καρτερώτατε, διὰ ξίφους τμηθέντες καὶ εἰς χεῖρας, τοῦ Παντάνακτος Δεσπότου, ὑμῶν τὰ πνεύματα θέμενοι.

Οὐ λιμός, οὐδὲ κίνδυνος, οὐ γυμνότης , οὐ μάστιγες , οὐχ ὁ βιαιότατος ὄντως θάνατος, ὑμᾶς ἀγάπης ἐχώρισε, Χριστοῦ ἀξιάγαστοι· ἀλλ᾽ ὡς ἄρνες εἰς σφαγήν, τῷ ποιμένι ἑπόμενοι, ἐκ τῆς δύσεως, πρὸς ἀνέσπερον λῆξιν οὐρανίου, βασιλείας Ἀθλοφόροι, στεφανηφόροι ἐφθάσατε.

Ἕτερα. Ὁ αὐτός. Ἔδωκας σημείωσιν.

Νίκης ὡς φερώνυμος , τῶν πολεμίων ἐνίκησας , παρατάξεις τὸ πρότερον , δαιμόνων δ᾽ ἐσύστερον , τὰς φαλαγγαρχίας, ὁσίᾳ ἀσκήσει, καὶ μαρτυρίῳ κραταιῷ, Νίκων μακάριε κατετρόπωσας· διὸ ὑψόθεν στέφανον, ἀπολαβὼν τὸν ἀμάραντον, ἐν ζωῆς κατεσκήνωσας, οὐρανῶν τῇ λαμπρότητι.

Θείαις παραινέσεσιν, τῆς σὲ τεκούσης ἑπόμενος, τοῦ Δεσπότου τὸ τρόπαιον, Σταυρὸν τὸν πανάγιον, ὥσπερ παντευχίαν, ἀνέλαβες Νίκων, καὶ ἐτροπώσω ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν τὰς φάλαγγας· διὸ καὶ τὴν φερώνυμον, ἀντιμισθίαν εὑράμενος, τῶν ἐν πίστει τὴν μνήμην σου, ἐκτελούντων μνημόνευε.

Δόξαν τὴν ἐπίκηρον, τοῦ ἐπιγείου στρατεύματος, καταλείψας ὡς πάνσοφος, Χριστῷ τῷ Παντάνακτι, ἐστρατεύσω Νίκων, καὶ ὡς στρατηλάτης, τῆς εὐσεβείας κραταιός, κατὰ τῆς πλάνης ἀγωνισάμενος, ἐν πόλει ἐθριάμβευσας, τῶν πρωτοτόκων τὰ τρόπαια, φερωνύμως δεξάμενος, θεομάκαρ τῆς νίκης σου.

Δόξα. Ἦχος πλ. δ᾽.

Ἀ᾽σκήσει καὶ ἐγκρατείᾳ, σαρκὸς τὰ σκιρτήματα, χαλινώσας τὸ πρότερον, πρὸς μαρτυρίου πόλεμον, ἐχώρησας ὕστερον, καὶ ἐχθρῶν παρατάξεις, εἰς ὄλεθρον ἔτρεψας , Νίκων Ὁσιομάρτυς ἔνδοξε· σύνταγμα γὰρ ἱερόν , καὶ συνασπισμὸν ἀήττητον ἔσχες, τῶν μαθητῶν σου τὴν χορείαν, μεθ᾽ ὧν καὶ φερωνύμως ἐστεφανώθης, παρὰ τοῦ πάντων Βασιλέως. Αὐτῷ οὖν πρέσβευε ἐκτενῶς, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ὑμνούντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ο῾ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ Ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθών, μετὰ τῆς προσλήψεως, εἷς ἐστὶν Υἱός, διπλοῦς τὴν φύσιν , ἀλλ᾽ οὐ τὴν ὑπόστασιν . Διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε, Μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ΄, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε΄, 15-6,3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ

κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. δ′, 7-15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α′.

Ἀ᾿σκητικὸν ἀγῶνα ἠγωνίσω, καὶ μαρτυρίου τὸν δρόμον ἐτέλεσας, συναθλητὰς τοὺς μαθητάς σου λαβών , Νίκων Ὁσιομάρτυς ἀοίδιμε· διὸ ἐν ὑψίστοις, μετ᾿ αὐτῶν χορεύεις εὐφραινόμενος , φερωνύμως τὰ βραβεῖα τῆς νίκης σου, παρὰ τοῦ Ἀθλοθέτου Χριστοῦ κομισάμενος. Αὐτῷ οὖν πρέσβευε, ἐν παῤῥησίᾳ πολλῇ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β′.

Μητρικὴν ζηλώσας εὐσέβειαν, καὶ διὰ τοῦ θείου Βαπτίσματος, Χριστὸν τὸν Θεὸν ἐνδυσάμενος, θεολήπτῳ φρονήματι, τοῖς ἴχνεσιν αὐτοῦ ἠκολούθησας, Νίκων ἱερώτατε· ἀσκητικῶς γὰρ διέπρεψας, καὶ μαρτυρικῶς ἐτελειώθης, τῷ ξίφει ὑποκλίνας τὸν αὐχένα σου. Ὅθεν αὐτῷ παριστάμενος, ἐν τῷ νυμφῶνι τῆς χαρᾶς, ὑπὲρ ἡμῶν καθικέτευε, τῶν προστρεχόντων τῇ πρεσβείᾳ σου.

Ἦχος δ′.

Ὁ᾿σιομάρτυς πανένδοξε, ὡς ἄριστος παιδευτής, διδαχαῖς τῆς σοφίας σου, καὶ ἔργοις ἀνδρείας Χριστοῦ, τοὺς φοιτητάς σου ὀχυρώσας, κρείττους

βασάνων καὶ θανάτου, ὡς ἀληθῶς ἐπέδειξας, καὶ σὺν αὐτοῖς τὴν ἄθλησιν, αὐχενότμητος ἐτέλεσας. Διὸ πρέσβευε μετ᾽ αὐτῶν , Νίκων ἱερώτατε, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν τιμώντων σε.

Ἦχος πλ. α'.

Δεῦτε ὁμοφρόνως πάντες πιστοί, τῆς τοῦ Ὁσιομάρτυρος Νίκωνος ἑορτῆς, τὰ αἴσια κροτήσωμεν, βοῶντες πρὸς αὐτόν· Χαίροις ὁ τῶν εἰδώλων μισήσας τὴν ἀσέβειαν, καὶ διὰ τοῦ θείου Βαπτίσματος, Χριστὸν τὸν Σωτῆρα ἐνδυσάμενος· χαίροις ὁ τῷ σημείῳ τοῦ Σταυροῦ, σεαυτὸν ὀχυρώσας, καὶ γενόμενος, φοβερὸς ὁρατοῖς τε καὶ ἀοράτοις πολεμίοις· χαίροις Ὁσίων τὸ καύχημα, Μαρτύρων τὸ ἀγλάϊσμα, καὶ πιστῶν προασπιστὴς ἀκαταίσχυντος. Παῤῥησίαν ὡς ἔχων πρὸς Θεόν, μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. δ'.

Ὁ΄σιομάρτυς Χριστοῦ, τὸν δρόμον καλῶς ἐκτελέσας, τὴν ἀκραιφνῆ δὲ πίστιν, τηρήσας καὶ κηρύξας, ὡς ὁ Παῦλος λέγει, δικαιοσύνης στεφάνους φερωνύμως, οὐρανόθεν ἐκομίσω, καὶ ἐν τοῖς κόλποις Ἀβραάμ, σὺν τοῖς ὁσίοις μαθηταῖς σου, τὴν ἀνάπαυσιν ἐκτήσω ἀκατάλυτον. Διὸ πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐπιτελούντων εὐσεβῶς, τὴν μνήμην σου σήμερον.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ΄ καρπὸς τῆς κοιλίας σου Ἄχραντε, τῶν Προφητῶν ὑπάρχει, καὶ τοῦ νόμου τὸ πλήρωμα· διό σε Θεοτόκον, ἐν ἐπιγνώσει δοξάζοντες, εὐσεβῶς μεγαλύνομεν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ προσόμοια.
Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε συνελθόντες οἱ πιστοί, ἐν ἀγαλλιάσει καρδίας, πανηγυρίσωμεν, καὶ ἀνευφημήσωμεν, τὸν θεῖον Νίκωνα, τὸν ὁσίως ἀσκήσαντα, καὶ τελειωθέντα, ἐν Μαρτύρων αἵματι, αὐτῷ κραυγάζοντες· Πάτερ ταῖς πρεσβείαις σου ῥῦσαι, τοὺς προστρέχοντάς σοι κινδύνων, πειρασμῶν τε νόσων καὶ κακώσεων.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Σθένει τῶν σοφῶν σου διδαχῶν, τῶν σῶν μαθητῶν ὀχυρώσας, Νίκων τὸ φρόνημα, τούτους ἐπετέλεσας, ἅγιον στράτευμα, οὗ ἡγούμενος χάριτι, κατὰ τῶν δαιμόνων, νίκης τὸ φερώνυμον, ἔστησας τρόπαιον. Ὅθεν τοὺς

ὑμνοῦντάς σε πόθῳ, στήριζε παμμάκαρ καὶ σκέπε, ταῖς πρὸς τὸν Δεσπότην ἱκεσίαις σου.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίρει Μυτιλήνη ἐπὶ σοί, Νίκων ἱερώτατε Πάτερ, Ὁσιομάρτυς Χριστοῦ, ὅτι καθηγίασται, τῇ διελεύσει σου, καὶ κροτοῦσα ἑόρτια, τελεῖ σου τὴν μνήμην, τὴν ἀξιοθαύμαστον, ἀναβοῶσά σοι· Στήριζε τιμίαις εὐχαῖς σου, τῆς Ὀρθοδοξίας ἐν πέτρᾳ, τὸν λαὸν παμμάκαρ τὸν τιμῶντά σε.

Δόξα. Ἦχος δ΄.

Ο῾σιομάρτυς Νίκων, τῆς ἐπιγείου στρατείας, τὴν δόξαν παρωσάμενος, τῷ οὐρανίῳ Βασιλεῖ ἐστρατεύθης, Χριστῷ τῷ Θεῷ ἡμῶν· αὐτοῦ δὲ τῷ Σταυρῷ καθοπλισάμενος, δἰ ἀσκήσεως καὶ μαρτυρίου , κατὰ δαιμόνων προσεχώρησας, καὶ φάλαγγας τούτων κατετρόπωσας. Ὅθεν φερωνύμως τὰ γέρα, τῶν κατορθωμάτων σου κτησάμενος, μετὰ τῶν ἐνδόξων συνάθλων σου, τῇ Ἁγίᾳ Τριάδι πρέσβευε, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ε᾿κ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ω῾ς ἀσκήσας ὁσίως , καὶ ἀθλήσας δἰ αἵματος , τῆς δικαιοσύνης ἐδέξω, τὸν ἀμάραντον στέφανον, χειρὶ τῇ ζωηφόρῳ τοῦ Θεοῦ, ᾧ πρέσβευε ἀεὶ ὑπὲρ ἡμῶν, τῶν τελούντων σου τὴν μνήμην χαρμονικῶς, ὦ Νίκων καὶ ἐκβοώντων· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρουμένῳ διὰ σοῦ, πᾶσιν τὰ κρείττονα.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Δῆμον ἅγιον, τροπαιοφόρον, τὴν ὁμήγυριν, τῶν φοιτητῶν σου , συνεκρότησας Νίκων μακάριε , μεθ᾿ ὧν ἀγῶσιν ἐμπρέψας ἀσκήσεως , ἐτελειώθης Μαρτύρων ἐν αἵματι. Ὅθεν πρέσβευε, Χριστῷ σὺν αὐτοῖς πολύαθλε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α′ Στιχολογίαν, Κάθισμα.
Ἦχος α′. Τὸν τάφον σου.

Μητρὸς τῆς εὐσεβοῦς, ὑπακούσας τοῖς λόγοις, ἐχρήσω τοῦ Σταυροῦ, τῷ τιμίῳ σημείῳ, ὡς ὅπλον ἀπροσμάχητον, καὶ ἐχθροὺς κατετρόπωσας, Νίκων ἔνδοξε, Ὁσιομάρτυς Κυρίου· ὅθεν σήμερον, οἱ εὐσεβεῖς σε τιμῶμεν, τελοῦντες τὴν μνήμην σου.

Δόξα. Ὅμοιον.

Θεόλεκτον στρατόν, διὰ πίστεως Νίκων, ἀθροίσας τὸν χορόν, τῶν σεπτῶν μαθητῶν σου, ἐν μάχαις κατετρόπωσας, μαρτυρίου τῆς πίστεως, τὰ στρατεύματα, τῶν νοητῶν πολεμίων, καὶ ἀπέλαβες, ὡς νικητὴς φερώνυμως, τῆς δόξης τὸν στέφανον.

Καὶ νῦν. Θεοτοκίον.

Παρθένε ἀγαθή, τοῖς ἱκέταις σου ἴθι, βοήθεια στεῤῥά, προστασία καὶ σκέπη, ὡς εὔσπλαγχνος ὑπάρχουσα, συμπαθὴς καὶ φιλάγαθος· σοὶ γὰρ Δέσποινα, ἐν ταῖς τοῦ βίου ἀνάγκαις, καταφεύγομεν, καὶ ὡς Θεοῦ σε Μητέρα, ἀεὶ μακαρίζομεν.

Μετὰ τὴν β′ Στιχολογίαν, Κάθισμα.
Ἦχος γ′. Τὴν ὡραιότητα.

Τὰ ἐν ἀσκήσει σου, σεπτὰ παλαίσματα, τὰ ἐν ἀθλήσει σου, γενναῖα τρόπαια, ὡς παναγίαν προσφοράν, δεξάμενος ὁ Δεσπότης, ἔνδον σε εἰσήγαγε, οὐρανῶν τῆς τερπνότητος, ἔνθα αὐγαζόμενος, τῷ φωτὶ τῆς θεώσεως, μνημόνευε ἡμῶν Πάτερ Νίκων, τῶν ἐκτελούντων σου τὴν μνήμην.

Δόξα. Ὁ αὐτός. Θείας πίστεως.

Ἔχων σύνταγμα, ἡγιασμένον, τὴν συνέλευσιν, τῶν μαθητῶν σου, στρατηγὸς ἐγνωρίσθης τῆς χάριτος, καὶ μαρτυρίου ἐν μάχαις διέλυσας, τῶν ἀοράτων ἐχθρῶν τὴν παράταξιν. Ὅθεν στέφανον, τὸν θεῖον Νίκων δεξάμενος, Χριστὸν ὑπὲρ ἡμῶν θερμῶς ἱκέτευε.

Καὶ νῦν. Θεοτοκίον.

Ὃν συνέλαβες, ἀπειρογάμως, καὶ ἐκύησας, ἀνερμηνεύτως, τὸν τὰ σύμπαντα φέροντα ῥήματι, ὑπὲρ ἡμῶν ἐκτενῶς καθικέτευε, ἵνα ῥυσθῶμεν κινδύνων καὶ θλίψεων· σὺ γὰρ Δέσποινα, ὑπάρχεις ἀεὶ φιλάγαθος, τοῖς μέλπουσιν πιστῶς τὸν θεῖον τόκον σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἐπ' ὤμων ἀράμενος , τὸν ζωηφόρον Σταυρόν, ἐπέβης τοῖς ἴχνεσιν, ἀσκητικῶς τοῦ Χριστοῦ, ὦ Νίκων μακάριε· ἄθλοις δὲ μαρτυρίου, ἐκτελέσας τὸν δρόμον, δόξῃ ἐστεφανώθης, σὺν τοῖς θείοις συνάθλοις· μεθ' ὧν ἐν παῤῥησίᾳ αὐτῷ, πρέσβευε σωθῆναι ἡμᾶς.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τῶν χρόνων ἐπέκεινα, καὶ πρὸ αἰώνων Θεόν, ἐν χρόνῳ ἐκύησας, ὑπερφυῶς ἐν σαρκί, Θεάνθρωπον Ἄχραντε· ὅθεν σε Θεοτόκον, ἀληθῶς καὶ κυρίως, πάντες ὁμολογοῦντες, ἐκτενῶς σοι βοῶμεν· Τῆς δόξης τῆς αἰωνίου, πάντας ἀξίωσον.

Οἱ Ἀναβαθμοί, ἤτοι τὸ α' Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον, ζήτει τῇ ε' Δεκεμβρίου.

Ὁ Ν'. Δόξα.Ταῖς τοῦ σοῦ Ὁσίου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὅσιε Πάτερ, Νίκων ἱερώτατε, τὰ ὑπὲρ νοῦν ἀγαθὰ ἐπιποθήσας , τὴν φθειρομένην στρατείαν ἐβδελύξω , καὶ στρατιώτης ἀήττητος , τοῦ Βασιλέως τῆς δόξης ἀναδέδειξαι , δι' ἀσκήσεως καὶ μαρ τυρίου, τὸν νοητὸν φαραὼ τροπωσάμενος. Ὅθεν ἐν οὐρανοῖς δοξαζόμενος, πρέσβευε διηνεκῶς, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· οἱ Κανόνες, τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ΄, καὶ τῶν Ἁγίων εἰς στ΄. Κανὼν τῶν Ἁγίων, οὗ ἡ Ἀκροστιχίς· «Νίκης σε μέλπω τὸν φερώνυμον μάκαρ. Ἰωσήφ».

Ὠιδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Νικήσας, ἀσκητικοῖς παλαίσμασι, τὸν κακομήχανον, ἀθλητικαῖς ἐστέφθης καλλοναῖς, καὶ Θεῷ νῦν παρίστασαι, ὑπὲρ ἡμῶν δεόμενος, Ὅσιε Νίκων τῶν τιμώντων σε.

Ι᾿σχύϊ, τοῦ τὴν ἡμῶν ἀσθένειαν, ἐνδυναμώσαντος, δυναμωθεὶς ἠρίστευσας τὸ πρίν, ἐν πολέμοις μακάριε, καὶ νικητὴς γενόμενος, Χριστοῦ προστρέχεις τῷ Βαπτίσματι.

Κοσμεῖται, τῷ μαρτυρίῳ ὅμιλος, μακαριώτατος, τῶν μαθητῶν σου πρότερον σοφέ, λαμπρυνθεὶς ταῖς ἀσκήσεσι, καὶ ἐν διπλοῖς παλαίσμασι, διπλοῦς στεφάνους ἀνεπλέξατο.

Θεοτοκίον.

Η῾ πύλη, τῆς πρὸς ἡμᾶς σου Κύριε, συγκαταβάσεως, Ἀνατολὴν καὶ Ἥλιον καὶ Φῶς, μυστικῶς σε καλούμενον, ὑπερφυῶς γεγένηκε, διπλοῦν τὴν φύσιν τὸν Θεάνθρωπον.

Ὠιδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Στρατείαν πνευματικήν, περιζωσάμενος στρατὸν ἔνθεον, Μάρτυς Χριστοῦ ὥπλισας, πρὸς τὰ τῆς ἀθλήσεως σκάμματα.

Σταυρώσας ἀσκητικῶς, σάρκα πανένδοξε τὸ πρὶν ἔσπευσας, ἀθλητικαῖς μάστιξι, φάλαγγας δαιμόνων τροπώσασθαι.

Ε῾ῴας ὥσπερ ἀστήρ, Νίκων ἀπάρας πρὸς δυσμὰς ἔφθασας· ὅθεν θανὼν ἔδυσας, καὶ πρὸς τὸν Χριστὸν ἐξανέτειλας.

Θεοτοκίον.

Μαρτύρων δῆμος τὴν σήν, ἀπεικονίσατο σφαγὴν Δέσποτα, ἐπεγνωκὼς Κόρης σε, ἐξ ἀπειρογάμου βλαστήσαντα.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Φῶς ἐπέλαμψε, σοῦ τῇ καρδίᾳ, θείοις ῥήμασι, τῆς σὲ τεκούσης· φωτισθεὶς δὲ τῷ Βαπτίσματι Ὅσιε , τῶν Μοναστῶν κατελέγης συστήματι , καὶ ποδηγὸς καὶ φωστὴρ ἐχρημάτισας , ἑπομένων σοι· μεθ᾽ ὧν τὸν Χριστὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, ἡ ἀκήρατος, Παρθενομήτωρ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ γοῦν γενόμενον, ῥερυπωμένον, σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα Σεμνὴ τὸ μέγα ἔλεος.

Ὠιδὴ δʹ. Ἐπαρθέντα σε ἰδοῦσα.

Ε᾿νηδόμενος ταῖς θείαις φωτοχυσίαις, τὰ τῶν βασάνων ῥεύματα, ἄτρωτος διέβης, Νίκων ἀξιάγαστε, καὶ νίκης τὸν στέφανον, Μάρτυς ἐπαξίως ἀπείληφας.

Λαμπροτάταις διαπρέπων ἀνδραγαθίαις, ὡς ἀσκητὴς ἠγώνισαι, πάθη θανατώσας, πρότερον τοῦ σώματος, ἀθλήσει τὸ δεύτερον, τὰς δαιμονικὰς τρέπων φάλαγγας.

Παρετάξασθε τῷ ὅπλῳ τῆς εὐσεβείας, τῷ δυσμενεῖ θεόφρονες, καὶ διὰ θανάτου, εὔκλειαν ἀθάνατον, εἰλήφατε ψάλλοντες· Δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Ω῾ς ὑπάρχουσαν τῆς κτίσεως ἀνωτέραν, ὁ Ποιητὴς ἠγάπησεν, ὦ Παρθενομῆτορ, δείξας σε Μητέρα αὐτοῦ, ἣν καὶ λιτανεύουσι, δῆμοι Ἀθλητῶν εὐπρεπέστατα.

Ὠιδὴ εʹ. Σὺ Κύριέ μου φῶς.

Ταῖς θείας τῆς μητρός, εὐπειθῶν παραινέσεσι, τὴν δύναμιν Νίκων ἔσχες, τοῦ Σταυροῦ ἐν πολέμοις, μυούμενος τὰ κρείττονα.

Ο῾ βίος σου φωτί, ἀρετῶν πυρσευόμενος, τὴν ἄθλησιν ὥσπερ κόσμον, εὐπρεπέστατον ἔχει, θεόφρον πανσεβάσμιε.

Νόμοις θεαρχικοῖς, εὐπειθοῦντες οἱ Μάρτυρες, ἠρίστευσαν καὶ ἀνόμους, θεϊκῇ συμμαχίᾳ, ἀνδρείως ἐτροπώσαντο.

Θεοτοκίον.

Φῶς ἄχρονον ἡμῖν, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, ἐγέννησας ὑπὸ χρόνον, ἀγαθότητος πλούτῳ, γενόμενος Πανάμωμε.

Ὠιδὴ στ΄. Θύσω σοι μετὰ φωνῆς.

Ε῾ῴας, ὡς πολύφωτος ὥρμησας ἥλιος, ὥσπερ ἀστέρας θεόφρον, μαθητῶν χορὸν ἐπαγόμενος, καὶ τὴν δύσιν, ταῖς ἀκτῖσιν ὑμῶν ἐφωτίσατε.

Ρ῾ανίσι, τῶν αἱμάτων σου Μάρτυς κατέκλυσας, πολυθεΐας θαλάσσας, καὶ βυθῷ ἀγώνων ἀπέπνιξας, τῆς κακίας, τὸν δεινὸν εὑρετὴν καὶ παμπόνηρον.

Ω῾ς κρίνα, ἀρετῶν ἐν λειμῶνι ἠνθήσατε, καὶ ὡς ἡδύπνοα ῥόδα, τὰς ἡμῶν καρδίας μυρίζετε, μαρτυρίου, καλλοναῖς Ἀθλοφόροι θεόπνευστοι.

Θεοτοκίον.

Ναόν σε, τοῦ Θεοῦ καὶ παλάτιον ἔμψυχον, τῶν Ἀθλοφόρων χορεία, ἐπιγνοῦσα Δέσποινα λιτανεύει, σὲ τὴν μόνην, γυναικῶν ἀραμένην τὸ ὄνειδος.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ο῾ρμὰς τῆς σαρκός, νεκρώσας τῇ ἀσκήσει σου, καὶ πλάνην ἐχθρῶν, αἰσχύνας τῇ ἀθλήσει σου, τῶν Ὁσίων γέγονας, καὶ Μαρτύρων Νίκων συνόμιλος, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Λόγον παράσχου μοι σοφίας, ἡ τοῦ Πατρὸς ἐνυπόστατος σοφία, καὶ δύναμις Χριστὲ ὁ Θεός, ἵνα προσφέρω τὸν ὕμνον ἐπάξιον, Νίκωνι τῷ κλεινῷ Ὁσιομάρτυρι, τῷ τῆς Ἐκκλησίας μεγάλῳ φωστῆρι, καὶ τῶν πιστῶν μυσταγωγὸν πρὸς εὐσέβειαν· Μητρὸς γὰρ εὐσεβοῦς, ταῖς θείαις παραινέσεσιν ἑπόμενος, καὶ τῷ τιμίῳ Σταυρῷ σημειούμενος, δι᾽ ἀγώνων ἀσκήσεως καὶ ἄθλων μαρτυρίου, τὰς παρατάξεις τῶν ἐχθρῶν κατετρόπωσεν. Ὅθεν φερώνυμον τὸ στέφος, τῆς δόξης δεξάμενος, τῶν Ὁσίων γέγονε, καὶ Μαρτύρων ἐν πόλῳ συνόμιλος, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Μηνολόγιον.

Τῇ ΚΓ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Μάρτυρος Νίκωνος, καὶ τῶν αὐτοῦ μαθητῶν, ἑκατὸν ἐνενηκονταεννέα Μαρτύρων.

Στίχοι.
Νίκης στέφανον εὐτρεπίζει σοι Νίκων,
Βραβεὺς στεφάνων· θνῆσκε λοιπὸν τῷ ξίφει.
Εἰκάδι ἐν τριτάτῃ Νίκων ξίφει κρᾶτα δῶκε.

Εἰς τοὺς αὐτοῦ Μαθητάς.
Ἑνὸς δέοντος τέσσαρας συμμαρτύρων,
Διὰ ξίφους τέμνουσι πεντηκοντάδας.

Συναξάριον.

Οὗτος ὁ Ἅγιος Νίκων ὑπῆρχε κατὰ τοὺς καιροὺς Κυντιανοῦ ἡγεμόνος, ἐκ τῆς τῶν Νεαπολιτῶν χώρας ὁρμώμενος, ὡραῖος τὸ κάλλος, καὶ τὴν ὄψιν λαμπρός, καὶ φοβερὸς ἐν πολέμοις, πατρὸς μὲν Ἕλληνος, μητρὸς δὲ Χριστιανῆς. Πολέμου δὲ συγκροτηθέντος μεγάλου, καὶ σφοδροῦ ἀγῶνος ἐνστάντος, τῶν τῆς μητρὸς παραινέσεων ὁ μακάριος μνησθείς, καὶ βαθὺ στενάξας, καὶ Κύριε Ἰησοῦ Χριστὲ βοήθει μοι, ἐπειπών, καὶ τῷ σημείῳ τοῦ τιμίου ἑαυτὸν τειχισάμενος Σταυροῦ, μέσον τῶν πολεμίων ἐλαύνει· καὶ οὓς μὲν μαχαίρᾳ παίων, οὓς δὲ δόρατι βάλλων, οὐ πρότερον ἀνῆκεν, ἕως οὗ πάντας ἐτροπώσατο, καὶ φυγάδας ἐποίησε. Πάντων δὲ ἐπὶ τούτῳ ἐκπλαγέντων, ἐπεὶ κατὰ ῥοῦν αὐτοῖς τὰ τοῦ πολέμου προὔβη, μετὰ πάντων καὶ αὐτὸς τὸν ἴδιον οἶκον καταλαμβάνει· καὶ τῇ μητρὶ τὰ τοῦ σκοποῦ προσαναθείς, ἐπὶ τὰ μέρη Κωνσταντινουπόλεως ἔπλει.

Φθάσας δέ τινα νῆσον, καλουμένην Χίον, προσβάλλει τῷ ταύτης ὄρει· καὶ ἐπιμείνας ἡμέρας ἑπτά, καὶ νηστείαις καὶ ἀγρυπνίαις καὶ προσευχαῖς σχολάζων, εὐαγγελίζεται ὑπὸ θείου Ἀγγέλου κατελθεῖν εἰς τὸν αἰγιαλὸν μετὰ τῆς ῥάβδου, ἣν παρέσχεν αὐτῷ ὁ φανείς. Καὶ καταλαβὼν τὸν αἰγιαλόν , καὶ εὑρὼν πλοῖον , ἀνῆλθεν ἐπ᾽ αὐτῷ , καὶ διὰ δύο ἡμερῶν καταλαμβάνει τὸ τοῦ Γάνου ὄρος. Καὶ κατὰ συγκυρίαν παρέστη αὐτῷ Ἐπίσκοπος ἐν σχήματι Μοναχοῦ· καὶ ἐπιλαβόμενος αὐτοῦ τῆς χειρός, ἀπήγαγεν αὐτὸν εἰς ὃ αὐτὸς κατῴκει σπήλαιον· καὶ κατηχήσας αὐτόν, εἰς τὸ τῆς Ἁγίας Τριάδος ἐβάπτισεν ὄνομα, μεταδοὺς αὐτῷ καὶ τῶν Ἁγίων Μυστηρίων· καὶ μετὰ χρόνους τρεῖς χειροτονεῖ αὐτὸν Πρεσβύτερον, ἔπειτα Ἐπίσκοπον.

Πάντων δὲ τῶν συνελθόντων Μοναχῶν τὴν προστασίαν ἀναδεξάμενος, ἑκατὸν ἐνενήκοντα ὄντων τὸν ἀριθμόν, εἰς Μυτιλήνην μετὰ πάντων ἔρχεται· ἐκεῖθεν πρὸς Ἰταλίαν ἀπαίρει· καὶ τὴν μητέρα θεασάμενος καὶ θανοῦσαν αὐτὴν κηδεύσας, τὴν Σικελίαν καταλαμβάνει, καὶ τὸ τοῦ Ταυρομενίου ὄρος οἰκεῖ μετὰ τῶν ἄλλων ἐνενηκονταεννέα. Ὁ

δὲ ἡγεμὼν, τὰ κατὰ τὸν Ἅγιον μαθών, αὐτίκα παρέστησεν ἅπαντας ἐνώπιον αὐτοῦ· καὶ ἐρωτηθέντες ἐπ᾽ ἐδάφους τείνονται , καὶ πληγαῖς κατακόπτονται, καὶ τελευταῖον τελειοῦνται τῷ ξίφει. Ὁ δὲ Ἅγιος Νίκων τείνεται ἐκ τεσσάρων, καὶ λαμπάσιν ὑποκαίεται, καὶ ὑποζυγίοις δεσμεῖται καὶ κατὰ γῆν σύρεται, καὶ κατὰ κρημνοῦ ὠθεῖται, καὶ τὸ στόμα λίθοις τύπτεται, καὶ τὴν γλῶτταν ἐκτέμνεται, καὶ τελευταῖον, ξίφει τὴν κεφαλὴν ἀποτέμνεται· καὶ οὕτως ἐπληρώθη αὐτοῦ ἡ Μαρτυρία.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Δομέτιος ξίφει τελειοῦται.

Στίχοι.
Ὁ δεινὸν οὗτος εἰσορῶν σπαθηφόρος,
Ὀργᾷ κατοῖσαι τὴν σπάθην Δομετίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Νέου Ὁσιομάρτυρος Λουκᾶ, τοῦ ἐν Μυτιλήνῃ δι᾽ ἀγχόνης μαρτυρήσαντος ἐν ἔτει αωβ′ (1802).

Στίχοι.
Λουκᾶς Ὅσιος, ἐκ δὲ τοῦ ξίφους πέλει,
Συνθιασώτης τοῦ χοροῦ τῶν Μαρτύρων.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠιδὴ ζ′. Ἐν τῇ καμίνῳ.

Υ῾πὲρ χρυσίον, δοκιμασθεὶς θεόφρον τοῖς αἰκισμοῖς, πύργος ἀρετῆς ἐφάνης τὰς ἐμβολάς, τῶν δαιμόνων ἀπωθούμενος, Εὐλογητὸς εἶ, ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Μετὰ τὸ τέλος, ἀποῤῥιφέν σου σου σῶμα Μάρτυς κρυφῇ, θείας ἰαμάτων πέμπον μαρμαρυγάς, ἀπελαύνει λώβην δαίμονος, τοῦ σὲ κατάδηλον, διὰ Θείου ποιήσαντος Πνεύματος.

Ο῞λος ταῖς θείαις, ἐνηδυνθεὶς παμμάκαρ νεύσεσι, σῶμα αἰκισμοῖς παρέδωκας καρτερῶς· στεφηφόρος γὰρ παρίστασθαι, τῷ Παντοκράτορι, ἐν οὐρανοῖς ἐπόθησας ἔνδοξε.

Νομεὺς προβάτων, τῶν λογικῶν τὴν μάνδραν Πάτερ σοφέ, λύκων νοητῶν ἐτήρησας ἀβλαβῆ, καὶ σὺν τούτοις πρὸς οὐράνιον, μονὴν ἐσκήνωσας, τῷ Δεσπότῃ τῶν ὅλων παρίστασθαι.

Θεοτοκίον.

Μὴ διαφθείρας, τὴν παρθενίαν Κόρη ὅλως τὴν σήν, Λόγος τοῦ Πατρὸς ἐσκήνωσεν ἐπὶ σοί, καὶ Μαρτύρων ἐπεσπάσατο, χορὸν ἀοίδιμον, Θεοτόκον Ἁγνήν σε κηρύττοντα.

Ὠιδὴ η'. Χεῖρας ἐκπετάσας.

Ἀνύστακτον φέρων τὸν πυρσόν, τὸν τῆς καρδίας σου, ἐπαρδευόμενον, δακρύων νάμασιν Ὅσιε, καὶ ἀθλήσεως ἐν αἵμασιν, εἰς ἀχειρότευκτον βοῶν, παστάδα νῦν κατοικεῖς· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Κόσμος Ἀσκητῶν καὶ Ἀθλητῶν, ἐδείχθης Ὅσιε· ἐν ἀμφοτέροις γάρ, ἐπευδοκίμησας τρόπαια, καταπλήττοντα διάνοιαν, κατὰ τοῦ μόνου δυσμενοῦς, Νίκων στησάμενος, καὶ κραυγάζων· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Αἵμασι κατήρδευσας ψυχάς, πρὸς ζῆλον ἔνθεον, ἐγείρας Ὅσιε· στιγμάτων ξίφεσιν ἔπληξας, τῶν δαιμόνων τὴν παράταξιν, ἐπαληθεύουσαν ἐν σοί, τὴν κλῆσιν δείξας βοῶν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Ῥῆξον τὸν κλοιόν μου τὸν βαρύν, τῶν παραπτώσεων ἡ ἀνορθώσασα, Ἀδὰμ τὴν ἔκπτωσιν Ἄχραντε, τῇ κυήσει σου Πανύμνητε, καὶ φωταγώγησον βοᾶν, ἐν καθαρῷ λογισμῷ· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠιδὴ θ'. Λίθος ἀχειρότμητος.

Ἴδε σε στιγμάτων τῷ κάλλει, διηνθισμένον καὶ πορφύραν, ἐκ μαρτυρικῶν σου αἱμάτων, ὁ στεφοδότης περιβαλλόμενον, καὶ σὺν αὐτῷ κατῴκισε, Νίκων ἐνθέως ἀγαλλόμενον.

Ὡς περικαλλής σου ὁ πόθος, ὃν πρὸς τὸν Κύριον ἐκτήσω, Νίκων καὶ θερμός σου ὁ ζῆλος, πυρὶ τῷ θείῳ ἀναφλεγόμενος, καὶ θαυμαστὴ ἡ ἄθλησις, τοῖς οὐρανίοις σε συνάψασα.

Σὲ τῆς Ἐκκλησίας ἐν ὕψει, ἥλιον μέγαν κεκτημένοι, δῆμος Ἀθλητῶν ὡς ἀστέρες, φωτὶ τῷ θείῳ περιχεόμενοι, ἀκτινοβόλοις λάμψεσι, τὴν οἰκουμένην καταυγάζουσιν.

Ἤρθης πρὸς μονὰς ἀκηράτους, χορὸν διπλῆς ἑκατοντάδος, Μάρτυς Ἀθλητῶν παραστήσας , τῷ στεφοδότῃ· μεθ᾽ ὧν μνημόνευε , τῶν ἐκτελούντων σήμερον, τὸ ἱερὸν ὑμῶν μνημόσυνον.

Θεοτοκίον.

Φωτὸς οἰκητήριον ὤφθης , τοῦ δι᾽ ἡμᾶς ἐκ σοῦ τεχθέντος , ὃν ἀδιαλείπτως δυσώπει, φωταγωγῆσαι τοὺς ἀνυμνοῦντάς σε, καὶ Θεοτόκον Πάναγνε, Παρθενομῆτορ καταγγέλοντας.

Ἐξαποστειλάριον. Τῶν Μαθητῶν ὁρώντων σε.

Μαρτυρικῆς ἡγούμενος συναυλίας, ἐνίκησας δαιμόνων τὰς παρατάξεις· ὅθεν Νίκων στέφανον φερώνυμον, παρὰ Χριστοῦ δεξάμενος, αὐτῷ παρέστης πρεσβεύων, ὑπὲρ τῶν σὲ εὐφημούντων.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἀσκητικῶς ἐμπρέψας, μαρτυρικῶς πρὸς οὐρανόν, Νίκων παμμάκαρ μετέβης, ἔνθα παρίστασαι Χριστῷ, δεόμενος παῤῥησίᾳ, ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Θεοτοκίον.

Θεοκυῆτορ Παρθένε, ἡ τὸν φιλάνθρωπον Θεόν, ἀνερμηνεύτως τεκοῦσα, τοῦτον ἀεὶ ὑπὲρ ἡμῶν, ἱκέτευε παῤῥησίᾳ, ἵνα οἱ πάντες σωθῶμεν.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α′. Τῶν οὐρανίων ταγμάτων.

Τῆς ἐπιγείου στρατείας, ἀπαρνησάμενος, τὴν φθειρομένην δόξαν, παμμακάριστε Νίκων, τοῖς ἴχνεσι Κυρίου ἀσκητικῶς, ἐπὶ γῆς ἠκολούθησας, ᾧ καὶ συνήφθης τὸν δρόμον μαρτυρικῶς, ἐκτελέσας διὰ πίστεως.

Ἀσκητικῶς διαπρέψας, Νίκων πανεύφημε, μαρτυρικῆς εὐκλείας, κοινωνὸς ἀνεδείχθης, βασάνους ὑπομείνας καρτερικῶς, καὶ τμηθεὶς τὸν αὐχένα σου· διὸ ἀπαύστως ἱκέτευε τὸν Χριστόν, ὑπὲρ πάντων τῶν ὑμνούντων σε.

Τῶν Μαθητῶν σου τὸν δῆμον , τίμιον ἄθροισμα , καὶ λογικὴν θυσίαν , τῷ Δεσπότῃ προσῆξας , μεθ᾽ ὧν ἐν Παραδείσου Νίκων σοφέ , ταῖς σκηναῖς αὐλιζόμενος, ὑπὲρ ἡμῶν ἐκδυσώπει ἵνα χαρᾶς, αἰωνίου ἀπολαύσωμεν.

Ἡ΄ Μυτιλήνη ἀγάλλου, ὅτι ἡγίασαι, Νίκωνος τοῦ Ὁσίου, τῇ σεπτῇ διελεύσει, καὶ τοῦτον ἀνυμνοῦσα χαρμονικῶς, τῇ Τριάδι ἀνάκραξον· Σῶσον δὴ εὔσπλαγχνε Κύριε σὸν λαόν, ὡς οἰκτίρμων καὶ εὐλόγησον.

Δόξα. Ἦχος πλ. α'.

Δεῦτε φιλομάρτυρες, εὐσεβοφρόνως πάντες ἀνυμνήσωμεν, τὸν Χριστοῦ Ὁσιομάρτυρα, τὸν ἀσκητικῶς διαπρέψαντα, καὶ μαρτυρίου τὸν δρόμον ἐκτελέσαντα, τὸν ὁπλίτην τῆς εὐσεβείας, καὶ τῆς πίστεως στεφανίτην ὑπερθαύμαστον· διὸ καὶ πρὸς αὐτόν, ἐν κατανύξει εἴπωμεν· Νίκων Ὁσίων τὸ καύχημα, καὶ Μαρτύρων ἐγκαλλώπισμα, σὺν τοῖς ἐνδόξοις συνάθλοις σου, Θεὸν τὸν ἐν Τριάδι καθικέτευε, ἵνα ῥυσθῶμεν ἐκ πάσης ἀπειλῆς, οἱ τελοῦντες τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσιομάρτυρος ἡ γ' καὶ στ' Ὠιδή. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ ε' Δεκεμβρίου, ἐν τῇ μνήμῃ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σάββα τοῦ Ἡγιασμένου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάρια.

Πόνοις διαπρέψας ἀσκητικοῖς, ἄθλοις μαρτυρίου, ἐλαμπρύνθης περιφανῶς, καὶ Χριστῷ παρέστης, δεδοξασμένος Νίκων, ὑπὲρ ἡμῶν πρεσβεύων, τῶν εὐφημούντων σε.

Χαίροις θεηγόρος παρεμβολή, Νίκων θεομάκαρ, σὺν συνάθλοις τοῖς ἱεροῖς, οἱ καταβαλόντες, ἀσκήσει καὶ ἀθλήσει, εἰς τέλος τὰς δυνάμει, τοῦ πολεμήτορος.

*Στίχοι.*
*Ὕμνων Νίκων ἔνδοξε σειράν σοι φέρει,*
*Κύριλλος ὁ ἄθλιος ποιμὴν τῆς Ῥόδου.*